Κακοηθέστατον δὲ ἄρα τῶν ζώων ὁ Πίθηκος ἦν[64], καὶ ἔτι πλέον ἐν οἷς πειρᾶται μιμεῖσθαι τὸν ἄνθρωπον. Αὐτίκα γοῦν ἰδὼν ἐξ ἀπόπτου[65] τροφὸν λούουσαν παιδίον ἐν σκάφῃ, καὶ πρῶτον μὲν ἀπολύουσαν τὰ σπάργανα, εἶτα δὲ ἐκ τοῦ λουτροῦ[66] κατειλοῦσαν[67] αὐτὸ, παραφυλάξας ἔνθα[68] ἀνέπαυσε τὸ βρέφος, ὡς εἶδεν ἐρημίαν, εἰσέθορε[69] διά τινος ἀνεῳγμένης θυρίδος, ἐξ ἧς οἱ[70] καὶ πάντα σύνοπτα ἦν· καὶ ἄρας ἐκ τῆς εὐνῆς τὸ παιδίον, καὶ γυμνώσας ὡς ἔτυχεν ἰδὼν, καὶ κομίσας εἰς μέσον τὴν σκάφην, ζέον ὕδωρ (καὶ γὰρ ἦν ἐπί τινων ἀνθράκων θερμαινόμενον) τοῦ δυστυχοῦς παιδίου κατέχεε[71], καὶ μέν τοι καὶ ἀπέκτεινεν αὐτὸ οἴκτιστα.

---

Ἡ Ὗς γνωρίζει τοῦ συβότου τὴν φωνὴν, καὶ ὑπακούει καλοῦντος[72], κἂν ᾖ πλανηθεῖσα· πλησίον[73] δὲ τούτου τὸ μαρτύριον. Τῇ γῇ τῇ Τυῤῥηνίδι[74] κακοῦργοι ναῦν λῄστειραν προσέσχον[75], καὶ προσελθόντες αὐλίῳ[76] περιτυγχάνουσι, καὶ ἦν συβοτῶν τὸ αὔλιον, καὶ εἶχεν ὗς πολλάς· ταύτας οὖν συλλαβόντες εἰς τὴν ναῦν ἐνέβαλον, καὶ ἀπολύσαντες τὰ πείσματα[77] εἴχοντο τοῦ πλοῦ[78]. Οἱ τοίνυν συβόται, παρόντων μὲν τῶν λῃστῶν, ἡσύχαζον, ἐπεὶ δὲ ἔτυχον τῆς γῆς ἀποσαλεύσαντες[79], ὅσον τε γέγωνε βοήσας[80], ἐνταῦθά τοι τὰς ὗς τῇ συνήθει βοῇ ὀπίσω καὶ παρὰ σφᾶς ἀπεκάλουν οἱ συβόται. Αἱ δὲ, ὡς ἤκουσαν, ἐπὶ θάτερα[81] τοῦ πλοίου ἑαυτὰς συνώσασαι, ἀνέτρεψαν αὐτό. Καὶ οἱ μὲν κακοῦργοι παραχρῆμα διεφθάρησαν, αἱ δὲ ὗς παρὰ τοὺς ἑαυτῶν δεσπότας ἀπενήξαντο[82].

---

Ὁ δὲ Ναυτίλος πολύπους μέν ἐστι καὶ αὐτὸς, καὶ κόγχην[83] μίαν ἔχει. Ἀναπλεῖ μὲν οὖν ἐκ τῆς θαλάττης, τὴν κόγχην ἐκτρέψας περὶ τὰ κάτω, ἵνα μὴ τῆς ἅλμης[84] ἀρύσηται, καὶ ὠθήσῃ[85] αὖθις αὐτόν· γενόμενος δὲ ἐπὶ τοῖς κύμασιν, ὅταν μὲν ᾖ γαλήνη καὶ εἰρήνη πνευμάτων, στρέφει τὴν κόγχην ὑπτίαν, ἡ δὲ ἐπιπλεῖ δίκην πορθμίδος[86], καὶ παρεὶς[87] δύω πλεκτάνας[88] ἐντεῦθέν τε καὶ ἐκεῖθεν, καὶ ὑποκινῶν ἡσυχῇ, ἐρέττει τε καὶ προωθεῖ τὴν συμφυῆ[89] ναῦν· εἰ δὲ εἴη πνεῦμα[90], τοὺς ἐρετμοὺς μὲν τοὺς τέως[91] προτείνας μακροτέρους, οἴακας ἐργάζεται[92], ἄλλας δὲ ἀνατείνας πλεκτάνας, ὧν μέσος χιτών ἐστι λεπτότατος, τοῦτον διαστήσας, ἱστίον αὐτὸν ἀποφαίνει. Πλεῖ μὲν δὴ τὸν τρόπον τοῦτον ἀδεὴς ὤν· ἐὰν μέν τοι φοβηθῇ τι τῶν ἁδροτέρων[93], βυθίσας τὴν κόγχην ἐπλήρωσε[94], καὶ κατώλισθεν ἐκ τοῦ βάρους, καὶ ἑαυ-

---

64) Ἀντὶ Ἐστίν. 65) Ἀπὸ ὑψηλὸν μέρος. 66) Μετὰ τὸ λουτρόν. 67) Τειλίσσουσαν.
68) Τὸν τόπον ἔνθα. 69) Εἰσθρώσκω. 70) Αὐτῷ. 71) Ἔχεε κατὰ, ἐπὶ τοῦ δυστυχοῦς.
72) Τὰ αἰσθήσεως σημαντικὰ μετὰ γενικῆς. 73) Πρόχειρον, τὸ ἑξῆς. 74) Ἐπαρχία τῆς Ἰταλίας. 75) Ἐπλησίασαν, προσώρμησαν. 76) Μάνδρα. 77) Σχοινία, παλαμάρια.
78) Ἤρχισαν νὰ πλέωσι. 79) Μακρυνθέντες. 80) Στίχος ἐκ τοῦ Ὁμήρου Ὀδυσ. Ε, 400. Ὅσον ἀκούεταί τις φωνάξας γεγωνυίᾳ, δυνατῇ τῇ φωνῇ. 81) Μέρη, πρὸς τὴν μίαν τῶν πλευρῶν. 82) Ἐκολύμβησαν καὶ ἐξῆλθον. 83) Καύκαλον. 84) Τοῦ θαλασσίου ὕδατος.
85) Πρὸς τὰ κάτω. 86) Ὡς πορθμίς. 87) Ἀφεὶς, ἐξαγαγών. 88) Πλοκάμους.
89) Ἑαυτῷ συμφυῆ, κολλημένην εἰς αὐτόν. 90) Σφοδρὸς ἄνεμος. 91) Τοὺς ἕως τότε χρησιμεύοντας αὐτῷ ὡς. 92) Τοὺς μεταχειρίζεται ὡς οἴακας. 93) Ζώων. 94) Τὴν πληροῖ ὕδατος.